21 μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ
22 καὶ ἀπὸ τῶν τέκνων σου φύλαξαι.
23 ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου·
καὶ γὰρ τοῦτό ἐστιν τήρησις ἐντολῶν.
24 ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς,
καὶ ὁ πεποιθὼς κυρίῳ οὐκ ἐλαττωθήσεται.

33 1 Τῷ φοβουμένῳ κύριον οὐκ ἀπαντήσει κακόν,
ἀλλ' ἐν πειρασμῷ καὶ πάλιν ἐξελεῖται.
2 ἀνὴρ σοφὸς οὐ μισήσει νόμον,
ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ ὡς ἐν καταιγίδι πλοῖον.
3 ἄνθρωπος συνετὸς ἐμπιστεύσει νόμῳ,
καὶ ὁ νόμος αὐτῷ πιστὸς ὡς ἐρώτημα δήλων.
4 ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ,
σύνδησον παιδείαν καὶ ἀποκρίθητι.
5 τροχὸς ἁμάξης σπλάγχνα μωροῦ,
καὶ ὡς ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ.
6 ἵππος εἰς ὀχείαν ὡς φίλος μωκός,
ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει.
7 Διὰ τί ἡμέρα ἡμέρας ὑπερέχει,
καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου;
8 ἐν γνώσει κυρίου διεχωρίσθησαν,
καὶ ἠλλοίωσεν καιροὺς καὶ ἑορτάς·
9 ἀπ' αὐτῶν ἀνύψωσεν καὶ ἡγίασεν
καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν.
10 καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους,
καὶ ἐκ γῆς ἐκτίσθη Αδαμ·
11 ἐν πλήθει ἐπιστήμης κύριος διεχώρισεν αὐτοὺς
καὶ ἠλλοίωσεν τὰς ὁδοὺς αὐτῶν·
12 ἐξ αὐτῶν εὐλόγησεν καὶ ἀνύψωσεν
καὶ ἐξ αὐτῶν ἡγίασεν καὶ πρὸς αὐτὸν ἤγγισεν·
ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσεν
καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν.
13 ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ
— πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ —,
οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτοὺς
ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ.

21] pr. και A || $24^{1}$ εντολη S
33 (1—$16^{1}$ al. 36 1—$16^{1}$; $16^{2}$—33 al. 30 25—40; cf. 30 fin.) $1^{1}$ κυριον] pr. τον S | $1^{2}$] + αυτον S$^{c}$ || $2^{2}$ υποκριν.] pr. εν S† || $3^{2}$ ερωτημα] pr. επ S† | δηλων] δικαιων B† || $4^{2}$ και] + ουτως S || $6^{1}$ οχ(ε)ιον S*A pl. | ως > S$^{c}$† | μωρος S$^{c}$†, μοιχος V† | $6^{2}$ χρεμετισει A || $9^{1}$ ανυψ. .. ηγιασ.] tr. S(†) || $10^{2}$ εκ γης / εκτ.] tr. S† || $13^{1}$ πηλον S*V†